ὅ ἐστιν ὁ καθαρός· οὕτω γ᾽οὖν καὶ τὰς καθαρὰς καὶ παρθένους γυναῖκας κόρας καλοῦμεν· διὰ οὖν τοῦ ὀνόματος τούτου τὴν νοερὰν δύναμιν σημαίνομεν· διὰ γὰρ τοῦτο καὶ οἱ ποιηταί φασιν αὐτὸν καταπίνειν τὰ ἴδια τέκνα καὶ πάλιν ἐμεῖν, ἐπειδὴ ὁ νοῦς πρὸς ἑαυτὸν ἐπιστρέφει, καὶ αὐτὸς ζητεῖ καὶ αὐτὸς ζητεῖται· διὰ τοῦτο οὖν λέγεται τὰ ἴδια τέκνα καταπίνειν, ἐμεῖν δέ, ὅτι οὐ μόνον ζητεῖ καὶ τίκτει, ἀλλὰ καὶ προάγει καὶ ὠφελεῖ· διὰ τοῦτο καὶ ἀγκυλομήτην αὐτόν φασιν, ἐπειδὴ τὸ ἀγκύλον σχῆμα πρὸς ἑαυτὸ ἐπινεύει· καὶ πάλιν οὐδὲν ἄτακτον καὶ νεώτερον ἐν τῷ νῷ· διὰ τοῦτο γέροντα αὐτὸν ἱστοροῦσιν καὶ βραδυκίνητον· ἀμέλει καὶ οἱ ἀποτελεσματικοί φασιν τοὺς ἔχοντας καλῶς τὸν Κρόνον φρονίμους καὶ νουνεχεῖς γίνεσθαι· ταῦτα οὖν σημαίνεται διὰ τούτων.

**4** πάλιν τὴν ζωὴν προσαγορεύουσι τῷ τοῦ Ζηνὸς ὀνόματι καὶ τῷ τοῦ Διός, ὅτι δι᾽ ἑαυτοῦ τὴν ζωὴν δίδωσι. καὶ πάλιν φασὶ τὸν μὲν Ἥλιον ἐπὶ τεσσάρων πώλων βεβηκέναι καὶ νέον αὐτὸν ἱστοροῦσι τὰς τέσσαρας τροπὰς καὶ τὸ ἀκμαῖον αὐτοῦ σημαίνοντες, τὴν δὲ Σελήνην ἐπὶ δύο ταύρων· ἐπὶ δύο μὲν διὰ τὴν αὔξησιν καὶ τὴν μείωσιν, ἐπὶ ταύρων δέ, ἐπειδὴ ὥσπερ οὗτοι τὴν γῆν ἐργάζοντες, οὕτως καὶ αὕτη τὸν περίγειον κόσμον κυβερνᾷ. καὶ πάλιν τὸν μὲν Ἥλιον ἄρρενά φασι, τὴν δὲ Σελήνην θήλειαν, ἐπειδὴ προσῆκεν ἄρρενι μὲν διδόναι, τῷ δὲ θήλει δέχεσθαι· ἐπεὶ οὖν ὁ μὲν Ἥλιος δίδωσι τὸ φῶς, ἡ δὲ Σελήνη δέχεται, διὰ τοῦτο τὸν μὲν ἄρρενα, τὴν δὲ θήλειαν ὀνομάζουσιν. ταῦτα οὖν ἐστι τὰ ποιητικὰ καὶ οὐ δεῖ ταράττεσθαι· λέγει τοίνυν, ὅτι ἀπὸ τοῦ Κρόνου διενείμαντο τὴν βασιλείαν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, καὶ ἐπειδὴ ὁ Πλάτων ποιητικὸν οὐ πλάττει μῦθον ἀλλὰ φιλόσοφον, οὐκ εἶπεν, ὡς οἱ

---

**26** Olympiod. in Plat. Phaed. C III ε′; Procl. in Plat remp. II 140, 17

---

**14** mg. περὶ Διός **16** mg. περὶ Ἡλίου **18** mg. περὶ Σελήνης **26** mg.

| | | |
|---|---|---|
| Ζεύς | οὐράνια | σκῆπτρον |
| Ποσειδῶν | μεταξύ | τρίαινα |
| Πλούτων | χθόνια | κυνέα |

---

**15** ἑαυτοῦ] ἑ- supra add. **M**

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/232 UNIVERSITÄT LEIPZIG